# Filoláos

Testimonia DK 44 A

**A 1** = Diogenés Laertios, Vitae philosophorum VIII, 84-85 Marcovich

Filoláos z Krotónu byl pýthagorik. Od něho koupil Platón pýthagorejské spisy, jak píše Diónovi. Zahynul, když upadnul do podezření, že usiluje o samovládu. Náš epigram na něho zní takto:

Tvrdím, že podezření je třeba dbát nejvíce lidem,
  neboť i bez činu – zdání může ti způsobit pád,
takto i Filoláa Krotón zahubil kdysi,
  ježto vlasti se zdálo, že chce mít tyranský dům.

Φιλόλαος Κροτωνιάτης Πυθαγορικός. παρὰ τούτου Πλάτων ὠνήσασθαι τὰ βιβλία τὰ Πυθαγορικὰ Δίωνι γράφει. ἐτελεύτα δὲ νομισθεὶς ἐπιτίθεσθαι τυραννίδι. καὶ ἡμῶν ἐστιν εἰς αὐτόν·

τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν·
  εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
  ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

(85) Domnívá se, že všechno se děje z nutnosti a souladu. Jako první řekl, že Země se pohybuje v kruhu. Jiní však tvrdí, že to byl Hiketás ze Syrakús (viz Hiketás A 1).
Napsal jednu knihu, o které podle Hermippa jeden spisovatel tvrdí, že ji filosof Platón, když byl u Dionýsios na Sicílii, koupil od příbuzných Filoláa za 40 alexandrijských [anachronismus !] min stříbra, a použil ji při psaní *Tímaia*. Jiní však tvrdí, že ji Platón dostal darem, když se u Dionýsia přimluvil za propuštění uvězněného mladíka, který patřil mezi Filolaovy žáky.

(85) δοκεῖ δ᾽ αὐτῶι πάντα ἀνάγκηι καὶ ἁρμονίαι γίγνεσθαι. καὶ τὴν γῆν κινεῖσθαι κατὰ κύκλον πρῶτον εἰπεῖν· οἱ δ᾽ Ἱκέταν [τὸν] Συρακόσιόν φασιν.
γέγραφε δὲ βιβλίον ἕν, ὅ φησιν Ἕρμιππος (fr. 40 Wehrli) λέγειν τινὰ τῶν συγγραφέων Πλάτωνα τὸν φιλόσοφον παραγενόμενον εἰς Σικελίαν πρὸς Διονύσιον ὠνήσασθαι παρὰ τῶν συγγενῶν τοῦ Φιλολάου ἀργυρίου Ἀλεξανδρινῶν μνῶν τετταράκοντα καὶ ἐντεῦθεν μεταγεγραφέναι τὸν Τίμαιον. ἕτεροι δὲ λέγουσι τὸν Πλάτωνα λαβεῖν αὐτά, παρὰ Διονυσίου παραιτησάμενον ἐκ τῆς φυλακῆς νεανίσκον ἀπηγμένον τῶν τοῦ Φιλολάου μαθητῶν.

Démétrios o něm [o Filoláovi] v *Soujmenovcích* tvrdí, že jako první z pýthagorejců vydal spis *O přírodě*, jehož začátek je takovýto: (B 1)
„Přirozenost byla v kosmu spojena z neomezených a vymezujících [principů], a stejně tak celý svět i vše, co v něm je."

τοῦτόν φησι Δημήτριος (fr. 25 Mejer) ἐν Ὁμωνύμοις πρῶτον ἐκδοῦναι τῶν Πυθαγορικῶν [τὰ] Περὶ φύσεως, ὧν ἀρχὴ ἥδε· (B 1)
„ἁ φύσις δ᾽ ἐν τῶι κόσμωι ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος [ὁ] κόσμος καὶ τὰ ἐν αὐτῶι πάντα."

**A 1a** = Platón, Phaedo 61e

Já jsem slyšel již od Filoláa, když u nás pobýval (...).
Scholion:
Tento Filoláos byl pýthagorejec z Itálie (...).

καὶ Φιλολάου ἤκουσα, ὅτε παρ᾽ ἡμῖν διῃτᾶτο...
Scholion:

οὗτος ὁ Φιλόλαος. Πυθαγόρειος ἦν ἐξ Ἰταλίας πεφευγὼς διὰ τὸν ἐμπρησμὸν τὸν τότε ὑπὸ Κύλωνος γεγονότα διὰ τὸ ἀνεπιτήδειον αὐτὸν πρὸς φιλοσοφίαν ὄντα ἀπελαθῆναι τοῦ ὁμακοΐου· ὃς καὶ δι᾽ αἰνιγμάτων ἐδίδασκε καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὖν οὗτος εἰς Θήβας τεθνεῶτι τῶι διδασκάλωι Λύσιδι χοὰς ποιήσων ἐκεῖ τεθαμμένωι. Ἵππαρχος (= Ἄρχιππος c. 46) δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορείων διεσώθησαν.

**A 2** = Diogenés Laertios, Vitae philosophorum IX, 38

Také Apollodóros z Kyziku tvrdí, že se Démokritos stýkal s Filoláem.

φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς Φιλολάωι αὐτὸν συγγεγονέναι.

**A 3** = Cicero, De orat. III, 34, 139

Nebo Filoláos [ustanovil svým nástupcem] Archýta z Tarentu.

aut Philolaus Archytam Tarentinum [instituit].

**A 4** = Diogenés Laertios, Vitae philosophorum VIII, 46

Mužného věku [Pýthagorás] dosáhnul v 60. olympiádě (540 až 537 před n. l.) a jeho škola se udržela až do deváté nebo desáté generace. Posledními pýthagoriky, které viděl ještě Aristoxenos, totiž byli Xenofilos z thrácké Chalkidiky, Fantón z Fliúntu, dále Echekratés, Dioklés a Polymnástos, také z Fliúntu. Byli to žáci Tarenťanů Filoláa a Euryta.

Ἤκμαζε δὲ καὶ κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα, καὶ αὐτοῦ τὸ σύστημα διέμενε μέχρι γενεῶν ἐννέα ἢ καὶ δέκα· τελευταῖοι γὰρ ἐγένοντο τῶν Πυθαγορείων, οὓς καὶ Ἀριστόξενος (fr. 12; FHG II, 275) εἶδε, Ξενόφιλός τε ὁ Χαλκιδεὺς ἀπὸ Θράικης καὶ Φάντων ὁ Φλιάσιος καὶ Ἐχεκράτης καὶ Διοκλῆς καὶ Πολύμναστος Φλιάσιοι καὶ αὐτοί. ἦσαν δὲ ἀκροαταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων.

**A 4a** = Plútarchos, De genio Socrat. 13; 583a

ἐπεὶ γὰρ ἐξέπεσον αἱ κατὰ πόλεις ἑταιρεῖαι τῶν Πυθαγορικῶν στάσει κρατηθέντων, τοῖς δ᾽ ἔτι συνεστῶσιν ἐν Μεταποντίωι συνεδρεύουσιν ἐν οἰκίαι πῦρ οἱ Κυλώνειοι περιένησαν καὶ διέφθειραν ἐν ταὐτῶι πάντας πλὴν Φιλολάου καὶ Λύσιδος νέων ὄντων ἔτι ῥώμηι καὶ κουφότητι διωσαμένων τὸ πῦρ, Φιλόλαος μὲν εἰς Λευκανοὺς φυγὼν ἐκεῖθεν ἀνεσώθη πρὸς τοὺς ἄλλους φίλους ἤδη πάλιν ἀθροιζομένους καὶ κρατοῦντας τῶν Κυλωνείων.

**A 5** = Diogenés Laertios, Vitae philosophorum III, 6

Potom se [Platón] ve věku 28 let podle Hermodóra uchýlil s některými dalšími sókratiky k Eukleidovi do Megar. Nato odešel k matematikovi Theodórovi do Kyrény, odtud do Itálie k pýthagorikům Filoláovi a Eurytovi.

ἔπειτα γενόμενος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν, καθά φησιν Ἑρμόδωρος, εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν καὶ ἄλλοις τισὶ Σωκρατικοῖς ὑπεχώρησεν. ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν, κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τοὺς Πυθαγορικοὺς Φιλόλαον καὶ Εὔρυτον.

**A 6** = Vitruvius I, 1, 16-17

(...) jako je také hudebníkům i astronomům společné, že zkoumají vzájemné vztahy, jak hvězd, tak souzvuku kvarty a kvinty... Ovšem ti, kterým příroda dala tolik důvtipu, bystrého úsudku a dobré paměti, aby mohli znát geometrii, astronomii, hudbu i ostatní obory důkladně. (...) Ti se ovšem naleznou jenom vzácně, jako to kdysi byli Aristarchos na Samu, Filoláos a Archýtás v Tarentu, Apollónios z Pergy, Eratosthenés z Kyrény, Archimédés a Skopinás ze Syrakús, kteří pomocí čísel a přirozených vztahů vynalezli mnohé věci, nástroje a přístroje k určování hodin, vyložili je a zanechali potomkům.

quibus vero natura tantum tribuit sollertiae acuminis memoriae, ut possint geometriam astrologiam musicen ceterasque disciplinas penitus habere notas (...) hi autem inveniuntur raro, ut aliquando fuerunt Aristarchus Samius, Philolaus et Archytas Tarentini, Apollonius Pergaeus ... qui multas res organicas et gnomonicas numero naturalibusque rationibus inventas atque explicatas posteris reliquerunt.

**A 7** = Athénaios, Deipnosophistae IV, 184e = IV, 84,13 Kaibel

Hře na flétnu se však věnovali také mnozí z pýthagoriků, jako Eufranór, Archýtás, Filoláos a několik dalších.

καὶ τῶν Πυθαγορικῶν δὲ πολλοὶ τὴν αὐλητικὴν ἤσκησαν ὡς Εὐφράνωρ τε καὶ Ἀρχύτας Φιλόλαός τε ἄλλοι τε οὐκ ὀλίγοι.

**A 7a** = Plútarchos, Quaestiones convivales VIII 2, 1; 718e

Geometrie je podle Filoláa počátkem a vlastí (...) ostatních nauk.

γεωμετρία κατὰ τὸν Φιλόλαον ἀρχὴ καὶ μητρόπολις ... τῶν ἄλλων [μαθημάτων].

**A 8** /1 = Gellius Atticus III, 17, 4

Timon amarulentus librum maledicentissimum conscripsit, qui Σίλλος inscribitur. in eo libro Platonem philosophum contumeliose appellat, quod inpenso pretio librum Pythagoricae disciplinae emisset exque eo Timaeum, nobilem illum dialogum, concinnasset. versus super ea re Timonos hi sunt (fr. 54 D.):

καὶ σὺ Πλάτων· καὶ γάρ σε μαθητείης πόθος ἔσχεν,
πολλῶν δ᾿ ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον,
ἔνθεν ἀπαρχόμενος τιμαιογραφεῖν ἐδιδάχθης.

**A 8** /2 = Diogenés Laertios, Vitae philosophorum III, 9

Někteří však, patří k nim např. Satyros, tvrdí, že [Platón] psal Diónovi na Sicílii, aby mu za sto min koupil od Filoláa tři pýthagorejské knihy.

λέγουσι δέ τινες, ὧν ἐστι καὶ Σάτυρος (fr. 16; FHG III, 163), ὅτι Δίωνι ἐπέστειλεν εἰς Σικελίαν ὠνήσασθαι τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου μνῶν ἑκατόν.

**A 8** /3 = Eusebios, Adversus Hierocl. 64 (380, 8 Kayser)

καὶ μὴν οὐδ᾿ ὁ περιβόητος Πλάτων πάντων γε μᾶλλον τῆς Πυθαγόρου κεκοινωνηκὼς φιλοσοφίας οὔτ᾿ ᾿Αρχύτας οὔτ᾿ αὐτὸς ἐκεῖνος ὁ τὰς Πυθαγόρου γραφῆι παραδοὺς ὁμιλίας Φιλόλαος.

**A 9** /1 = Áetios I, 3, 10 (Dox. 283)

Pýthagorejec Filoláos: mez a bezmezné.

Φιλόλαος ὁ Πυθαγόρειος τὸ πέρας καὶ τὸ ἄπειρον.

**A 9** /2 = Proklos, In Timaeum comm. I, 176, 27 Diehl

κρατεῖται δὲ ὑπὸ τῶν θειοτέρων τὰ καταδεέστερα καὶ εἷς ἀποτελεῖται κόσμος ἐξ ἐναντίων ἡρμοσμένος, ἐκ περαινόντων τε καὶ ἀπείρων ὑφεστηκὼς κατὰ τὸν Φιλόλαον.

**A 10** = Theón ze Smyrny 20, 19 Hiller

Archýtás a Filoláos však nerozlišeně nazývají jedno jednotkou a jednotku jedním.

᾿Αρχύτας δὲ καὶ Φιλόλαος ἀδιαφόρως τὸ ἓν καὶ μονάδα καλοῦσι καὶ τὴν μονάδα ἕν.

**A 11** = Lúkiános, De lapsu in sal. 5

εἰσὶ δὲ οἳ καὶ τὴν τετρακτὺν τὸν μέγιστον ὅρκον αὐτῶν, ἣν τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖν οἴ[ονται τὸν] δέκα, ὑγιείας ἀρχὴν ἐκάλεσαν· ὧν καὶ Φιλόλαος ἐστί.

**A 12** = Theolog. Arithm. 74, 10 de Falco

Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν [ἐν] τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδειξαμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ᾽ αὐτοῦ λεγόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐπ᾽ ὀγδοάδι συμβῆναι τοῖς οὖσιν.

**A 13** /1 = Theolog. Arithm. 82, 10

ὅτι καὶ Σπεύσιππος, ὁ Πωτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ᾽Ακαδημίας πρὸ Ξενοκράτου, ἐκ τῶν ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων, βιβλίδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ Περὶ Πυθαγορικῶν ἀριθμῶν (fr. 4 P. Lang Bonn 1911 S. 53ff.), ἀπ᾽ ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθὼν πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιότητός [τε] αὐτῶν καὶ πρὸς ἄλληλα κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον (τὸ) τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἄντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἶδός τι τοῖς κοσμικοῖς ἀποτελέσμασι τεχνικὸν ἀφ᾽ ἑαυτῆς (ἀλλ᾽ οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχε) θεμέλιον ὑπάρχουσαν καὶ παράδειγμα παντελέστατον τῶι τοῦ παντὸς ποιητῆι θεῶι προεκκειμένην. λέγει δὲ τὸν τρόπον τοῦτον περὶ αὐτῆς· ῎ἔστι δὲ τὰ δέκα τέλειος [ἀριθμός], καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι οὐδὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰρ ἴδια ἔχει, ἃ προσήκει τὸν οὕτω τέλειον ἔχειν, πολλὰ δὲ

ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ, δεῖ δὲ ἔχειν αὐτὰ τέλειον. πρῶτον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσοι ἐνῶσιν οἱ περισσοὶ καὶ ἄρτιοι, καὶ μὴ ἑτερομερεῖς· ἐπεὶ γὰρ πρότερος ἀεί ἐστιν ὁ περισσὸς τοῦ ἀρτίου, εἰ μὴ ἄρτιος εἴη ὁ συμπεραίνων, πλεονεκτήσει ὁ ἕτερος. εἶτα δὲ ἴσους ἔχειν χρὴ τοὺς πρώτους καὶ ἀσυνθέτους καὶ τοὺς δευτέρους καὶ συνθέτους· ὁ δὲ δέκα ἔχει ἴσους, καὶ οὐδεὶς ἂν ἄλλος ἐλάσσων τῶν δέκα τοῦτο ἔπαθεν ἀριθμός, πλείων δὲ τάχα (καὶ γὰρ ὁ ιβ καὶ ἄλλοι τινές), ἀλλὰ πυθμὴν αὐτῶν ὁ δέκα. καὶ πρῶτος τοῦτο ἔχων καὶ ἐλάχιστος τῶν ἐχόντων τέλος τι ἔχει, καὶ ἴδιόν πως αὐτοῦ τοῦτο γέγονε τὸ ἐν πρώτωι αὐτῶι ἴσους ἀσυνθέτους τε καὶ συνθέτους ὦφθαι, ἔχων τε τοῦτο ἔχει πάλιν [ἴσους] καὶ τοὺς πολλαπλασίους καὶ τοὺς ὑποπολλαπλασίους, ὧν εἰσι πολλαπλάσιοι· ἔχει μὲν γὰρ ὑποπολλαπλασίους τοὺς μέχρι πέντε, τοὺς δὲ ἀπὸ τῶν ἓξ μέχρι τῶν δέκα (οἱ) πολλαπλασίους αὐτῶν· ἐπεὶ δὲ τὰ ζ οὐδενός, ἐξαιρετέον· καὶ τὰ δ, ὡς πολλαπλάσια τοῦ β, ὥστε ἴσους εἶναι πάλιν (δεῖ). ἔτι πάντες οἱ λόγοι ἐν τῶι ι, ὅ τε τοῦ ἴσου καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος καὶ τοῦ ἐπιμορίου καὶ τῶν λοιπῶν εἰδῶν ἐν αὐτῶι, καὶ οἱ γραμμικοὶ [καὶ] οἱ ἐπίπεδοι καὶ οἱ στερεοί. τὸ μὲν γὰρ α στιγμή, τὰ δὲ β γραμμή, τὰ δὲ γ τρίγωνον, τὰ δὲ δ πυραμίς· ταῦτα δὲ πάντα ἐστὶ πρῶτα καὶ ἀρχαὶ τῶν καθ᾿ ἕκαστον ὁμογενῶν. καὶ ἀναλογιῶν δὲ πρώτη αὕτη ἐστὶν ἡ ἐν αὐτοῖς ὀφθεῖσα, ἡ τὸ ἴσον μὲν ὑπερέχουσα, τέλος δὲ ἔχουσα ἐν τοῖς δέκα. ἔν τε ἐπιπέδοις καὶ στερεοῖς πρῶτά ἐστι ταῦτα, στιγμή, γραμμή, τρίγωνον, πυραμίς· ἔχει δὲ ταῦτα τὸν τῶν δέκα ἀριθμὸν καὶ τέλος ἴσχει· τετρὰς μὲν γὰρ ἐν πυραμίδος γωνίαις ἢ βάσεσιν, ἑξὰς δὲ ἐν πλευραῖς, ὥστε δέκα· τετρὰς δὲ πάλιν ἐν στιγμῆς καὶ γραμμῆς διαστήμασι καὶ πέρασιν, ἑξὰς δὲ ἐν τριγώνου πλευραῖς καὶ γωνίαις, ὥστε πάλιν δέκα. καὶ μὴν καὶ ἐν τοῖς σχήμασι κατ᾿ ἀριθμὸν σκεπτομένωι συμβαίνει· πρῶτον γάρ ἐστι τρίγωνον τὸ ἰσόπλευρον, ὃ ἔχει μίαν πως γραμμὴν καὶ γωνίαν· λέγω δὲ μίαν, διότι ἴσας ἔχει· ἄσχιστον γὰρ ἀεὶ καὶ ἑνοειδὲς τὸ ἴσον· δεύτερον δὲ τὸ ἡμιτετράγωνον· μίαν γὰρ ἔχον παραλλαγὴν γραμμῶν καὶ γωνιῶν ἐν δυάδι ὁρᾶται· τρίτον δὲ τὸ τοῦ ἰσοπλεύρου ἥμισυ τὸ καὶ ἡμιτρίγωνον· πάντως γὰρ ἄνισον καθ᾿ ἕκαστον, τὸ δὲ πᾶν αὐτοῦ τρία ἐστί. καὶ ἐπὶ

τῶν στερεῶν εὑρίσκοις ἂν ἄχρι τῶν τεττάρων προϊὸν τὸ τοιοῦτο, ὥστε δεκάδος καὶ οὕτως ψαύει· γίνεται γάρ πως ἡ μὲν πρώτη πυραμὶς μίαν πως γραμμήν τε καὶ ἐπιφάνειαν ἐν ἰσότητι ἔχουσα, ἐπὶ τοῦ ἰσοπλεύρου ἱσταμένη· ἡ δὲ δευτέρα δύο, ἐπὶ τετράγωνον ἐγηγερμένη, μίαν παραλλαγὴν ἔχουσα παρὰ τῆς ἐπὶ τῆς βάσεως γωνίας, ὑπὸ τριῶν ἐπιπέδων περιεχομένη, τὴν κατὰ κορυφὴν ὑπὸ τεττάρων συγκλειομένη, ὥστε ἐκ τούτου δυάδι ἐοικέναι· ἡ δὲ τρίτη τριάδι, ἐπὶ ἡμιτετραγώνου βεβηκυῖα καὶ σὺν τῆι ὀφθείσηι μιᾶι ὡς ἐν ἐπιπέδωι τῆι ἡμιτετραγώνωι ἔτι καὶ ἄλλην ἔχουσα διαφορὰν τὴν τῆς κορυφαίας γωνίας, ὥστε τριάδι ἂν ὁμοιοῖτο, πρὸς ὀρθὰς τὴν γωνίαν ἔχουσα τῆι τῆς βάσεως μέσηι πλευρᾶι· τετράδι δὲ ἡ τετάρτη κατὰ ταὐτά, ἐπὶ ἡμιτετραγώνωι βάσει συνισταμένη, ὥστε τέλος ἐν τοῖς δέκα λαμβάνειν τὰ λεχθέντα. τὰ αὐτὰ δὲ καὶ ἐν τῆι γενέσει· πρώτη μὲν γὰρ ἀρχὴ εἰς μέγεθος στιγμή, δευτέρα γραμμή, τρίτη ἐπιφάνεια, τέταρτον στερεόν.

**A 13** /2 = Theolog. Arithm. 81, 15

Πίστις γε μὴν καλεῖται [ἡ δεκάς], ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις πίστιν βεβαίαν ἔχομεν. διόπερ καὶ Μνήμη λέγοιτ᾽ ἂν ἐκ τῶν αὐτῶν, ἀφ᾽ ὧν καὶ μονὰς Μνημοσύνη ὠνομάσθη.

**A 13** /3 = Ióannés Laurentius Lydus, De mensibus I, 15

ὀρθῶς οὖν αὐτὴν ὁ Φιλόλαος δεκάδα προσηγόρευσεν ὡς δεκτικὴν τοῦ ἀπείρου.

**A 14** /1 = Proklos, In Eucl. 130, 8

καὶ γὰρ παρὰ τοῖς Πυθαγορείοις εὑρήσομεν ἄλλας γωνίας ἄλλοις θεοῖς ἀνακειμένας ὥσπερ καὶ ὁ Φιλόλαος πεποίηκε τοῖς μὲν τὴν τριγωνικὴν γωνίαν τοῖς δὲ τὴν τετραγωνικὴν ἀφιερώσας καὶ ἄλλας ἄλλοις καὶ τὴν αὐτὴν πλείοσι θεοῖς καὶ τῶι αὐτῶι πλείους κατὰ τὰς διαφόρους ἐν αὐτῶι δυνάμεις ἀνείς.

**A 14** /2 = Proklos, In Eucl. 166, 25

Podobně také Filoláos obětoval čtvrtinu úhlu [rovnostranného?] trojúhelníku bohům, Kronovi, Hádovi, Areovi a Dionýsiovi...

εἰκότως ἄρα καὶ ὁ Φιλόλαος τὴν τοῦ τριγώνου γωνίαν τέτταρσιν ἀνέθηκεν θεοῖς, Κρόνωι καὶ Ἅιδηι καὶ Ἄρει καὶ Διονύσωι ... ὁ μὲν γὰρ Κρόνος πᾶσαν ὑφίστησι τὴν ὑγρὰν καὶ ψυχρὰν οὐσίαν, ὁ δὲ Ἄρης πᾶσαν τὴν ἔμπυρον φύσιν, καὶ ὁ μὲν Ἅιδης τὴν χθονίαν ὅλην συνέχει ζωήν, ὁ δὲ Διόνυσος τὴν ὑγρὰν καὶ θερμὴν ἐπιτροπεύει γένεσιν, ἧς καὶ ὁ οἶνος σύμβολον ὑγρὸς ὢν καὶ θερμός. πάντες δὲ οὗτοι κατὰ μὲν τὰς εἰς τὰ δεύτερα ποιήσεις διεστήκασι, ἥνωνται δὲ ἀλλήλοις. διὸ καὶ κατὰ μίαν αὐτῶν γωνίαν συνάγει τὴν ἕνωσιν ὁ Φιλόλαος.

**A 14** /3 = Proklos, In Eucl. 173, 11

καὶ πρὸς τούτοις ὁ Φιλόλαος κατ᾿ ἄλλην ἐπιβολὴν τὴν τοῦ τετραγώνου γωνίαν Ῥέας καὶ Δήμητρος καὶ Ἑστίας ἀποκαλεῖ.

**A 14** /4 = Proklos, In Eucl. 174, 12

τὴν γὰρ τοῦ δωδεκαγώνου γωνίαν Διὸς εἶναί φησιν ὁ Φιλόλαος, ὡς κατὰ μίαν ἕνωσιν τοῦ Διὸς ὅλον συνέχοντος τὸν τῆς δυωδεκάδος ἀριθμόν.

**A 14** /5 = Damaskios II, 127, 7 Ruelle

διὰ τί γὰρ τῶι μὲν (τῶν θεῶν) τὸν κύκλον ἀνιέρουν οἱ Πυθαγόρειοι, τῶι δὲ τρίγωνον, τῶι δὲ τετράγωνον, τῶι δὲ ἄλλο καὶ ἄλλο τῶν εὐθυγράμμων (τῶν) σχημάτων, ὡς δὲ καὶ μικτῶν, ὡς τὰ ἡμικύκλια τοῖς Διοσκούροις; πολλάκις δὲ τῶι αὐτῶι ἄλλο καὶ ἄλλο ἀπονέμων κατ᾽ ἄλλην ἰδιότητα καὶ ἄλλην ὁ Φιλόλαος ἐν τούτοις σοφός, καὶ μήποτε ὡς καθόλου εἰπεῖν τὸ μὲν περιφερὲς κοινὸν σχῆμά ἐστιν πάντων τῶν νοερῶν θεῶν ἧι νοεροί, τὰ δὲ εὐθύγραμμα ἴδια ἑκάστων ἄλλα ἄλλων κατὰ τὰς τῶν ἀριθμῶν, τῶν γωνιῶν καὶ τῶν πλευρῶν ἰδιότητας· οἷον ᾽Αθηνᾶς μὲν τὸ τρίγωνον, ῾Ερμοῦ δὲ τὸ τετράγωνον. ἤδη δέ φησιν ὁ Φιλόλαος·
καὶ τοῦ τετραγώνου ἥδε μὲν ἡ γωνία τῆς ῾Ρέας, ἥδε δὲ τῆς ῞Ηρας, ἄλλη δὲ ἄλλης θεοῦ.
καὶ ὅλως ἐστὶν θεολογικὸς ὁ περὶ τῶν σχημάτων ἀφορισμός.

**A 14** /6 = Plútarchos, De Is. et Osir. 30; 363a

φαίνονται δὲ καὶ οἱ Πυθαγορικοὶ τὸν Τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν. λέγουσι γὰρ ἐν ἀρτίωι μέτρωι ἕκτωι καὶ πεντηκοστῶι γεγονέναι Τυφῶνα· καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου [γωνίαν] ῞Αιδου καὶ Διονύσου καὶ ῎Αρεος εἶναι· τὴν δὲ τοῦ τετραγώνου ῾Ρέας καὶ ᾽Αφροδίτης καὶ Δήμητρος καὶ ῾Εστίας καὶ ῞Ηρας· τὴν δὲ τοῦ δωδεκαγώνου Διός· τὴν δ᾽ ἑκκαιπεντηκονταγώνου Τυφῶνος, ὡς Εὔδοξος ἱστόρηκεν.

**A 15** = Áetios II, 6, 5 (Dox. 334)

Πυθαγόρας πέντε σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν.

**A 16** = Áetios II, 7, 7 (Dox. 336)

Filoláos říká, že oheň je uprostřed kolem středu [světa], který nazývá ohništěm (hestia) veškerenstva, Diovým domem a matkou bohů, nebo také oltářem, pojítkem a měrou přírody; a naopak je jiný oheň, který je (v universu) nejvýše a který je obklopuje. Dále praví, že střed je svou přirozeností první a okolo něj v tanci obíhá deset božských těles: nebe (úranos), [pět] planet, po nich Slunce, pod ním Měsíc, pod ním Země, pod ní Protizemě, po těchto všech je oheň, který je na místě ohniště okolo středu. Nejvyšší část obklopujícího, v níž jsou prvky ve své čistotě, nazývá Olymp; oblast pod oběhem Olympu, kam bylo umístěno pět planet společně se Sluncem a Měsícem, nazývá Kosmos. Část pod nimi, podměsíční a okolo Země, kde je oblast vzniku, který tíhne ke změně, nazývá Nebe (Úranos). Dále říká, že moudrost vzniká v souvislosti s tím, co je uspořádáno nahoře, naproti tomu zdatnost povstává v souvislosti s neuspořádaností věcí, které vznikají, jedna je dokonalá a druhá nedokonalá.

Φιλόλαος πῦρ ἐν μέσωι περὶ τὸ κέντρον ὅπερ ἑστίαν τοῦ παντὸς καλεῖ (B 7) καὶ Διὸς οἶκον καὶ μητέρα θεῶν βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως. καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω τὸ περιέχον. πρῶτον δ᾽ εἶναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώματα θεῖα χορεύειν, (οὐρανόν) [μετὰ τὴν τῶν ἀπλανῶν σφαῖραν] τοὺς ε πλανήτας, μεθ᾽ οὓς ἥλιον, ὑφ᾽ ὧι σελήνην, ὑφ᾽ ἧι τὴν γῆν, ὑφ᾽ ἧι τὴν ἀντίχθονα, μεθ᾽ ἃ σύμπαντα τὸ πῦρ ἑστίας περὶ τὰ κέντρα τάξιν ἐπέχον. τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ὧι τὴν είλικρίνειαν εἶναι τῶν στοιχείων, ὄλυμπον καλεῖ,

τὰ δὲ ὑπὸ τὴν τοῦ ὀλύμπου φοράν, ἐν ὧι τοὺς πέντε πλανήτας μεθ᾽ ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον, τὸ δ᾽ ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ὧι τὰ τῆς φιλομεταβόλου γενέσεως, οὐρανόν. καὶ περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίνεσθαι τὴν σοφίαν, περὶ δὲ τῶν γινομένων τὴν ἀταξίαν τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην ἀτελῆ δὲ ταύτην.

**A 17** = Áetios III, 11, 3 (Dox. 377)

Φιλόλαος ὁ Πυθαγόρειος τὸ μὲν πῦρ μέσον (τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν), δευτέραν δὲ τὴν ἀντίχθονα, τρίτην δὲ τὴν οἰκουμένην γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῆι ἀντίχθονι· παρ᾽ ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῆιδε τοὺς ἐν ἐκείνηι.

**A 17b** Huffman = A 17cfr DK = Áetios II, 4, 15; Stobaios I, 21, 6d (Dox. 332, po A 18)

Filoláos říká, že řídící část je v nejstřednějším ohni, který bůh tvůrce (*démiurgos theos*) dal jako první pod sféru veškerenstva jako lodní kýl.

τὸ δὲ ἡγεμονικὸν ἐν τῶι μεσαιτάτωι πυρί, ὅπερ τρόπεως δίκην προϋπεβάλετο τῆς τοῦ παντὸς [σφαίρας] ὁ δημιουργὸς θεός.

**A 18** = Áetios II, 5, 3 Mansfeld-Runia (Dox. 333)

Odkud se živí kosmos:

Filoláos říká, že zánik je dvojí – jeden, když se z nebe vyřine oheň; druhý pak z vody Měsíce, která se vylije obíháním vzduchu. A jejich výpary jsou výživou kosmu.

Πόθεν τρέφεται ὁ κόσμος

Φιλόλαος διττὴν εἶναι τὴν φθοράν,[1] τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῆι τοῦ ἀέρος ἀποχυθέντος· καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

**A 19** = Áetios II, 20, 12 Mansfeld-Runia (Dox. 349; Stobaios I, 25, 3d)

O podstatě Slunce:

Pýthagorejec Filoláos [říká, že Slunce je] sklovité a přijímá odraz ohně v kosmu, usměrňuje světlo a teplo k nám.[2] V určitém smyslu je Slunce dvojí: ohnivé Slunce v nebi – a to, které je od něj odvozené, které se ohni podobá na způsob odrazu. Pokud by někdo neřekl, že je i třetí Slunce, totiž záře, která je od zrcadla rozptýlená odrazem směrem k nám. Tuto záři totiž nazýváme Sluncem jakožto obraz obrazu.

Περὶ οὐσίας ἡλίου

Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῶι κόσμωι πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίνεσθαι, τό τε ἐν τῶι οὐρανῶι πυρῶδες καὶ τὸ ἀπ᾽ αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές, εἰ μή τις καὶ τρίτον λέξει τὴν ἀπὸ τοῦ ἐνόπτρου

---

[1] φθορὰν Áetios, φθορὰν τοῦ κόσμου Stobaios I,20.

[2] Slunce jako zrcadlo centrálního ohně. Nebo čočka pro vnější oheň?

κατ᾽ ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν· καὶ γὰρ ταύτην προσονομάζομεν ἥλιον οἱονεὶ εἴδωλον εἰδώλου.

**A 19cfr** Huffman = Achilleus Tatios, Isagoga excerpta 19 (46,13 Maass)

Filoláos [tvrdí, že Slunce] chytá to, co je průhledné a zářivé, seshora od jasného aithéru a posílá k nám záři skrze jakési póry, takže je podle něj Slunce trojí:
jedno z aithérického ohně;
druhé, které je od aithérického ohně sesláno ke sklovitému;
třetí od sklovitého k nám.

Φιλόλαος δὲ [τὸν ἥλιον] τὸ πυρῶδες καὶ διαυγὲς λαμβάνοντα ἄνωθεν ἀπὸ τοῦ αἰθερίου πυρὸς πρὸς ἡμᾶς πέμπειν τὴν αὐγὴν διά τινων ἀραιωμάτων, ὥστε κατ' αὐτὸν τρισσὸν εἶναι τὸν ἥλιον, τὸ μὲν ἀπὸ τοῦ αἰθερίου πυρός, τὸ δὲ ἀπ' ἐκείνου πεμπόμενον ἐπὶ τὸν ὑελοειδῆ ὑπ' αὐτοῦ λεγόμενον ἥλιον, τὸ δὲ ἀπὸ τοῦ τοιούτου ἡλίου πρὸς ἡμᾶς πεμπόμενον.

**A 20** = Áetios II, 30, 1 Mansfeld-Runia (Dox. 361; Stobaios I, 26, 4)

O tom, jak se jeví Měsíc, a proč vypadá jako země

Někteří z pýthagorejců, mezi něž patří Filoláos, tvrdí, že Měsíc se zdá být podobný zemi, neboť je osídlen tak, jako jsou na naší zemi živočichové a zvířata, ovšem většími a krásnějšími. Tvrdí totiž, že zvířata tam jsou 15krát větší svou silou a nevyměšují výkaly, a den je tam taktéž tak dlouhý.

Περὶ ἐμφάσεως αὐτῆς, διὰ τί γεώδης φαίνεται

τῶν Πυθαγορείων τινὲς μέν, ὧν ἐστι Φιλόλαος, γεώδη φαίνεσθαι τὴν σελήνην διὰ τὸ περιοικεῖσθαι αὐτὴν καθάπερ τὴν παρ᾽ ἡμῖν γῆν ζώιοις καὶ φυτοῖς μείζοσι καὶ καλλίοσιν· εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ᾽ αὐτῆς ζῶια τῆι δυνάμει μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην τῶι μήκει.

**A 21** = Áetios III, 13, 1. 2. (Dox. 378)

(...) Pýthagorejec Filoláos však říká, že Země obíhá v kruhu kolem ohně, v šikmém kruhu, podobným způsobem jako Slunce a Měsíc.

[περὶ κινήσεως γῆς] οἱ μὲν ἄλλοι μένειν τὴν γῆν· Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλωι περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλον λοξὸν ὁμοιοτρόπως ἡλίωι καὶ σελήνηι.

**A 22** /1 = Censorinus, De die natali 18, 8

Také podle pýthagorejce Filoláa se každých 59 let vkládá do roku přestupný měsíc dlouhý 21 dní.

est et Philolai Pythagorici annus ex annis LIX, in quo sunt menses intercalares XXI.

**A 22** /2 = Censorinus, De die natali 19, 2

Přirozený rok (*annus naturalis*) má podle Filoláa 364 a půl dne.

Philolaus annum naturalem dies habere prodidit CCCLXIIII et dimidiatum.

**A 23** /1 = Marobius, Somn. Scip. I, 14, 19

Pýthagorás a Filoláos [říkají, že duše je] harmonií.

Pythagoras et Philolaus harmoniam [animam esse dixerunt].

**A 23** /2 = Aristotelés, De anima I, 4; 407b27

καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς ... ἁρμονίαν γάρ τινα αὐτὴν λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων.

**A 24** /1 = Nicom. Arithm. 26, 2; 135, 10 H.

τινὲς δὲ αὐτὴν (τὴν μεσότητα - cfr. 47 B 2) ἁρμονικὴν καλεῖσθαι νομίζουσιν ἀκολούθως Φιλολάωι ἀπὸ τοῦ παρέπεσθαι πάσηι γεωμετρικῆι ἁρμονίαι, γεωμετρικὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ τὰ τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν γὰρ παντὶ κύβωι ἥδε ἡ μεσότης ἐνοπτρίζεται. πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶν ιβ, γωνίαι δὲ η, ἐπίπεδα δὲ ς· μεσότης ἄρα ὁ η τῶν ς καὶ τῶν ιβ κατὰ τὴν ἁρμονικήν.

**A 24** /2 = Iamblichos, In Nicom. 118, 23 Pist.

εὕρημα δ᾽ αὐτήν φασιν εἶναι Βαβυλωνίων καὶ διὰ Πυθαγόρου πρώτου εἰς Ἕλληνας ἐλθεῖν. εὑρίσκονται γοῦν πολλοὶ τῶν Πυθαγορείων αὐτῆι κεχρημένοι ὥσπερ

᾿Αριστaῖος ὁ Κροτωνιάτης καὶ Τίμαιος ὁ Λοκρὸς (c. 47) καὶ Φιλόλαος καὶ ᾿Αρχύτας οἱ Ταραντῖνοι καὶ ἄλλοι πλείους καὶ μετὰ ταῦτα Πλάτων ἐν τῶι Τιμαίωι (p. 36ab).

**A 25** = Porfyrios, In Ptolem. 5; 91 Düring

ἀπὸ δὴ τούτου κινηθέντες τινὲς τῶν μετ᾿ αὐτὸν διάστημα ἐκάλεσαν εἶναι ὑπεροχήν, ὡς Αἰλιανὸς ὁ Πλατωνικός· καὶ Φιλόλαος δ᾿ ἐπὶ πάντων τῶν διαστημάτων [ταύτην εἴληφε τὴν] προσηγορίαν.

**A 26** = Boethius, Inst. mus. III, 5; 276, 15 Friedl.

Philolaus vero Pythagoricus alio modo tonum dividere temptavit, statuens scilicet primordium toni ab eo numero, qui primus cybum a primo impari, quod maxime apud Pythagoricos honorabile fuit, efficeret. nam cum ternarius numerus primus sit impar, tres tertio atque id ter si duxeris, XXVII necessario exsurgent, qui ad XXIIII numerum tono distat, eandem ternarii differentiam servans. ternarius enim XXIIII summae octava pars est, quae eisdem addita primum a ternario cybum XX ac VII reddit. ex hoc igitur Ph. duas efficit partes, unam quae dimidio sit maior, eamque apotomen vocat, reliquam quae dimidio sit minor eamque rursus diesin dicit (B 6), quam posteri semitonium minus appellavere harum vero differentiam comma (B 6). ac primum diesin in XIII unitatibus constare arbitratur eo, quod haec inter CCLVI et CCXLIII pervisa sit differentia, quodque idem numerus, id est XIII, ex novenario, ternario atque unitate consistat, quae unitas puncti obtineat locum, ternarius vero primae inparis lineae, novenarius primi inparis quadrati. ex his igitur causis cum XIII diesin ponat, quod semitonium nuncupatur, reliquam XXVII numeri partem, quae XIIII unitatibus continetur, apotomen esse constituit. sed quoniam inter XIII et XIIII unitas differentiam facit, unitatem loco commatis censet esse ponendam. totum vero tonum in XXVII unitatibus locat eo quod inter CCXVI ab CCXLIII qui inter se distant tono, XXVII sit differentia.

**A 27** = Menon Anonymi Londin. (Suppl. Arist. ed. Ac. Bor. III, 1) 18, 8; p. 31

Φιλόλαος δὲ Κροτωνιάτης συνεστάναι φησὶν τὰ ἡμέτερα σώματα ἐκ θερμοῦ. ἀμέτοχα γὰρ αὐτὰ εἶναι ψυχροῦ, ὑπομιμνήσκων ἀπό τινων τοιούτων· τὸ σπέρμα εἶναι θερμόν, κατασκευαστικὸν δὲ τοῦτο τοῦ ζώιου· καὶ ὁ τόπος δέ, εἰς ὃν ἡ καταβολή (μήτρα δὲ αὕτη), ἐστὶν θερμοτέρα καὶ ἐοικυῖα ἐκείνωι· τὸ δὲ ἐοικός τινι τἀτὸ δύναται ὧι ἔοικεν· ἐπεὶ δὲ τὸ κατασκευάζον ἀμέτοχόν ἐστιν ψυχροῦ καὶ ὁ τόπος δέ, ἐν ὧι ἡ καταβολή, ἀμέτοχός ἐστιν ψυχροῦ, δῆλον ὅτι καὶ τὸ κατασκευαζόμενον ζῶιον τοιοῦτον γίνεται. εἰς δὲ τούτου τὴν κατασκευὴν ὑπομνήσει προσχρῆται τοιαύτηι· μετὰ γὰρ τὴν ἔκτεξιν εὐθέως τὸ ζῶιον ἐπισπᾶται τὸ ἐκτὸς πνεῦμα ψυχρὸν ὄν· εἶτα πάλιν καθαπερεὶ χρέος ἐκπέμπει αὐτό. διὰ τοῦτο δὴ καὶ ὄρεξις τοῦ ἐκτὸς πνεύματος, ἵνα τῆι ἐπεισάκτωι τοῦ πνεύματος ὁλκῆι θερμότερα ὑπάρχοντα τὰ ἡμέτερα σώματα πρὸς αὐτοῦ καταψύχηται. καὶ τὴν μὲν σύστασιν τῶν ἡμετέρων σωμάτων ἐν τούτοις φησίν. λέγει δὲ γίνεσθαι τὰς νόσους διά τε χολὴν καὶ αἷμα καὶ φλέγμα, ἀρχὴν δὲ γίνεσθαι τῶν νόσων ταῦτα. ἀποτελεῖσθαι δέ φησιν τὸ μὲν αἷμα παχὺ μὲν ἔσω παραθλιβομένης τῆς σαρκός, λεπτὸν δὲ γίνεσθαι διαιρουμένων τῶν ἐν τῆι σαρκὶ ἀγγείων· τὸ δὲ φλέγμα συνίστασθαι ἀπὸ τῶν ὄμβρων φησίν. λέγει δὲ τὴν χολὴν ἰχῶρα εἶναι τῆς σαρκός. παράδοξόν τε αὐτὸς ἀνὴρ ἐπὶ τούτου κινεῖ· λέγει γὰρ μηδὲ τετάχθαι ἐπὶ τῶι ἥπατι χολήν, ἰχῶρα μέντοι τῆς σαρκὸς εἶναι τὴν χολήν. τό τ᾿ αὖ φλέγμα τῶν πλείστων ψυχρὸν εἶναι λεγόντων αὐτὸς θερμὸν τῆι φύσει ὑποτίθεται. ἀπὸ γὰρ τοῦ φλέγειν φλέγμα εἰρῆσθαι· ταύτηι δὲ καὶ τὰ φλεγμαίνοντα μετοχῆι τοῦ φλέγματος φλεγμαίνει· καὶ ταῦτα μὲν δὴ ἀρχὰς τῶν νόσων ὑποτίθεται, συνεργὰ δὲ ὑπερβολάς τε θερμασίας, τροφῆς, καταψύξεως καὶ ἐνδείας [τούτων ἢ] τῶν τούτοις παραπλησίων.

**A 28** = Menon Anonymi Londin. (Suppl. Arist. ed. Ac. Bor. III, 1) 20, 21

καὶ σχεδὸν οὗτος ὡς ὁ Φιλόλαος, οἴεται μὴ εἶναι ἐν ἡμῖν χολὴν ἢ ἄχρειον.

**A 29** = Sextos Empeirikos, Aadversus mathem. VII, 92

οἱ δὲ Πυθαγορικοὶ τὸν λόγον μέν φασιν (κριτήριον εἶναι), οὐ κοινῶς δέ, τὸν δὲ ἀπὸ τῶν μαθημάτων περιγινόμενον, καθάπερ ἔλεγε καὶ ὁ Φιλόλαος, θεωρητικόν τε ὄντα τῆς τῶν ὅλων φύσεως ἔχειν τινὰ συγγένειαν πρὸς ταύτην, ἐπείπερ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον καταλαμβάνεσθαι πέφυκεν.